Ἐκκλησιαστικὸς Φάρος 5 (1910) 444-452

ερωμένους ἀπογυμνώσαντα καὶ δημοσίᾳ παντοειδῶς ἐμπαίξαντα. «Fuere namque et in Ancyra provincia galatiae post reditum Marcelli haeretici, domorum incendia, et genera diversa bellorum nudi ab ipso ad forum trahebantur presbyteri, et (quod cum lacrymis luctuque est dicendum) consecratum Domini corpus ad sacerdotum colla suspensum malam publiceque profanabat, virginesque sanctissimas Deo Christoque Dicatos, publice in foro mediaque in civitate, concurrentibus populis abstractis, horrenda foetitate nudabat (ἔνθ. ἀν. σελ. 136). Ἕνεκα δὲ τῶν νέων τούτων κατηγοριῶν ὁ Μάρκελλος κατεδικάσθη τὸ δεύτερον ἐν τῇ ἐν Κων)πόλει συγκροτηθείσῃ συνόδῳ τὸ 338 ἢ 339 (πρβ. Hefele 488), ὡς τοῦτο γίγνεται δῆλον ἐκ τῆς περισωθείσης ἡμῖν ἐπιστολῆς τῆς ἐν Σαρδικῇ συνόδου, ἐν ᾗ μετὰ τὴν μνείαν τὴν πρώτης καὶ αὖθις ἐν Κωνσταντινουπόλει γενομένης καταδίκης ἕπονται τὰ ἑξῆς: Sed haec quidem secundum impietatem Marcelli haeretici prima fuerunt· pejora sunt deinde subsecuta. Nam opis fidelium credat aut patiatur ea, quae ab ipso malegesta atque conscripta sunt, quaeque digne anathematsata sunt? Nam[1] cum ipso Marcello a parentibus nostris in Constantinopolim civitatem .....(locus mutibus)....Namque liber sententiarum exstat in ipsum ab episcopis conscriptus, in quo libro etiam isti, nunc cum ipso sunt Marcello, atque illi favent ..... in ipsa sententia manu propria conscripserunt....(Mansi τόμ. III, σελ. 127 καὶ 128).

Μάρκος Δασκαλακης

---

[1]) Ἡ πρότασις nam cum ipso δὲν πρέπει νὰ θεωρηθῇ ὡς περιττεύουσα, οὐδὲ πρέπει ἐξαλείφοντες τὸ nam νὰ συνδέσωμεν μετὰ τῶν ἡγουμένων οὕτω quaeque digne anathematisata sunt Costantinopoli civitati ***cum ipso*** Marcello a parentibus nostris, τὸ μὲν διότι ἐν τοιαύτῃ περιπτώσει τὸ ***cum ipso Marcello*** θὰ ἦτο περιττόν, τὸ δὲ διότι ἡ πρότασις εἶνε ἀπαραίτητος διὰ τὴν συνέχειαν τοῦ λόγου. Ἐκ τοῦ κειμένου φαίνεται ὅτι ἐξέπεσεν, ὡς εἰκάζουσιν οἱ ἐκδόται, ἡ λέξις convocati καὶ ἡ διαπραγμάτευσις τῶν ἐκεῖ γενομένων. Πρὸς ἀπόδειξιν δὲ τῆς χείρονος καταστάσεως εἰς ἣν περιῆλθεν ὁ Μάρκελλος προσάγουσι τὰ ἐν Κωνσταντινουπόλει τὸ δεύτερον ἀποφασισθέντα καὶ ὑπογραφέντα καὶ ὑπὸ τῶν ὀπαδῶν αὐτοῦ. Τὴν δευτέραν δὲ ταύτην καταδίκην εἰκάζουσι μὲν ἕνεκα τοῦ εἰς Ρώμην ταξειδίου ὁ Tillemont καὶ ὁ Montfaucon χωρὶς ὅμως νὰ δηλῶσιν ὡς συμβᾶσαν ταύτην ἐν Κωνσταντινουπόλει, ἐν ᾧ ἕτεροι οὐκ ὀρθῶς ὡς τόπον τῆς καταδίκης ὁρίζουσι τὴν Ἀντιόχειαν (Schelstraten).

ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ ΚΑΙ ΛΟΓΙΩΤΑΤΟΥ ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΚΟΥ ΠΑΤΡΙΑΡΧΟΥ

ΚΥΡΟΥ ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΚΥΠΡΙΟΥ

ΕΠΙΣΤΟΛΑΙ*

ϱπε´) *Τῷ αὐτῷ*

Ἐπεστάλη τῷ δεῖνι ὧδε ἰέναι καὶ ἦν ἂν ἔτος ἓν ἀκριβῶς, εἰ μή τινων ἐνέδει βραχεῖ ἡμερῶν ἐξ ὅτου ἐπεστάλη. Αἰτίαν δ' ὅμω[ς] εἶχεν ἡ ἐπιστολὴ τὴν κατάστασιν καὶ εἰρήνην ἣν ἔδει ποτὲ ταῖς ἐκκλησίαις γενέσθαι· ὁ δὲ ἀεὶ μὲν ἀναβαλλόμενος ἀεὶ δ' ὑπισχνούμενος καὶ ἥξειν καὶ μεγάλα οἷα δράσειν ἡμᾶς μὲν ἀγαθά, δεινὰ δὲ τοὺς ἐπηρεαστάς. Ἐπειδὴ μόλις ἦλθεν οὐκέθ' ὁρᾶν πρὸς τὰς ἐπαγγελίας καὶ τὰ ἔργα παρέχεται· ἀλλ' ἐκείνοις μὲν θρασέως μάλα στρατηγεῖ, ἡμῖν δὲ ἀπειλεῖ τε καὶ πολεμεῖ. Τὴν μὲν οὖν ὑπεροψίαν τ' ἀνθρώπου καὶ τὸν μείζονα οὐρανοῦ τῦφον, τά τε καταγέλαστα φάσματα καὶ φρυάγματα ἐμπληξίας ὄντα γεννήματα οὐ ποιητικὰ καταπλήξεως ἀκήκοας, οἶμαι, καὶ αὖθις ἀκούειν οὐ δεῖ· πλὴν ἀναστέλλειν ἔδει προμηθῶς ἡμᾶς τὰ τοιαῦτα, ὅτι καὶ ἀναστέλλειν ῥᾴδιον καὶ χρή· νυνὶ δὲ συγχωρεῖται, ἐφ' ὁποίῳ οὐκ οἶδα συμφέροντι, καὶ προβαίνει τὴν ὀφρὺν μᾶλλον αἴρων καὶ μᾶλλον κατὰ πάντων ἀπονοούμενος· ἐγὼ δ' ἐπείπερ οὔπω διὰ φιλαρχίαν ἐλεοῦντος Θεοῦ καθαρῶς μαίνομαι οὐδὲ πάντῃ τὸν θεῖον φόβον—λεγέσθω γὰρ καὶ σύ μοι συγγίνωσκε—τῆς ψυχῆς ἀπωσάμην, εὐλαβοῦμαι μὲν ἀπὸ χειρὸς ἀθρόου ῥίψαι τὰ πράγματα, χειμῶνα δὲ τῇ Ἐκκλησίᾳ καὶ τοῦ κατέχοντος χαλεπώτερον δι' αὐτὸν καὶ τοὺς κατ' αὐτὸν ἐπε-

* Συνέχεια ἐκ σελ. 352

γεῖραι. Ἐπεὶ τίς πόνος τὸν ἄνδρα τοῦτον μιμήσασθαι, τοῖς τε ἀντιτείνουσιν ἐπικηρυκεύσασθαι, ναὶ μὴν καὶ σπείσασθαι πάντα μεθέντα πρὸς τὴν ἐκείνου βούλησιν, ἀρχήν, θρόνους, ὅσα ὑψηλὰ καὶ ἐπίφθονα· εἶτα δι' ἐκείνων καὶ μετ' ἐκείνων πάσης ταραχῆς τὴν φιλοτάραχον τήν δε πληρῶσαι ψυχήν· τίς λέγω πόνος, εἰμὴ τὴν Ἐκκλησίαν ἔμελλον ταυτὶ δράσας εἰς ἄγαν λυμαίνεσθαι, καὶ ὅ φησι Πλάτων διὰ φιλονεικίαν πάντως πάντα ἀπολέσαι ἐπίχαρτα τοῖς ἐχθροῖς ποιησάμενος; νυνὶ δὲ δέδοικα, ὅπερ ἔφην, μὴ τὴν μητέρα καὶ εὐεργέτιν ἀμύνωμαι ὑπ' ἄλλων πολεμούμενος καὶ βαλλόμενος. Καὶ μυριάκις ἂν βουλοίμην ἀποθανεῖν ἢ τὴν κοινὴν χριστιανῶν ἐσάπαξ λυπῆσαι τροφόν, ἧς ἕνεκα ἵν' ὑπέσχη τὴν ἐνεστῶσαν ἐπήρειαν καὶ πρόθυμος γέγονα τῶν ἐμαυτοῦ πᾶσι πάντων παραχωρεῖν· ὅπερ δὴ δέος ἡμῶν κἀκεῖνος ἐπιτηρήσας τῇ τε ἀνωμαλίᾳ τοῦ καιροῦ προσχρησάμενος ἀκάθεκτα μαίνεται καὶ ἐπαίρεται, καὶ τῇ ταπεινώσει ἡμῶν, ἣν διὰ Θεὸν καὶ τὰ Θεοῦ ταπεινούμεθα πράγματα ἐπὶ μᾶλλον ὑψοῦται καὶ κακὸς γίνεται. Τί οὖν ποιητέον ἐστὶ πρὸς ταῦτα; τίνα λόγον θεραπείας εὑρίσκεις, εἴπερ ἠρεμεῖν καὶ μένειν ἐν τῇ τοῦ καλοῦ χώρᾳ οὐκ ἐπιτρέπουσιν οἱ τὴν κακίαν αὐτὴν ὥσπερ ἄλλην ἐπιτηδεύοντες ἀρετήν; Τὸ δὲ πόλεμον ἐμφύλιον ἐπισκόπτων ἀνάψαι, καταστρέφειν ἐστὶ τὴν Ἐκκλησίαν, ὥσπερ ἐκεῖνο τὸ τρίτον τῆς αὐτῆς κακίας ἔστι τε καὶ δυνάμεως, τὸ σπείσασθαι δὴ λέγω καὶ προσχωρῆσαι τοῖς ἐναντίοις. Τί φής; τί δράσομεν; εἰπὲ πρὸς Θεοῦ, ἐπεὶ καὶ ὑπὲρ Θεοῦ σοι ὁ λόγος, ὡς ἔγωγε παντάπασιν ἐξηπόρημαι καὶ οὐκ ἔχω ὑπὸ τῆς ἀθυμίας ὅστις καὶ γένωμαι.

ρπϛ') Ὁ πρωτοβεστιάριος τῷ πατριάρχῃ

Παναγιώτατε καὶ θειότατε δέσποτά μου οἰκουμενικὲ πατριάρχα. Ἐγὼ δὲ τὴν ἐπὶ τὸν Ἄθω φυγὴν τοῦ πονηροῦ Θεοδοσίου μαθὼν—οὕτω γὰρ αὐτὸν καλεῖν ἄξιον πολλῶν τε ἄλλων χάριν, ἃ ταύτην τούτῳ τὴν προσηγορίαν ἁρμοδιωτάτην εἶναι

πεποίηκε, καὶ τῆς ἐσχάτης ταύτης ἀπονοίας πρὸς ἣν αὐτὸν φιλοδοξίας ἔρως συνήλασεν ὥσπερ ἔχω τι σκοπήσας ἐρεῖν—ἐγὼ δὲ ὅμως καὶ πρὸ τούτου τὴν ἀποδημίαν ταύτην ὑπώπτευον, καὶ τῷ θειοτάτῳ βασιλεῖ καὶ δεσπότῃ ὑφηγεῖσθαί τε καὶ λέγειν οὐκ ὤκνουν, ὡς ἄρα οὐ σκοποῦ χωρὶς καὶ μελέτης εἴτουν ἐναντιωτάτου τινὸς σκέμματος μεταβολή τις εἷλε τοῦτον οὕτως ἀθρόα καὶ τοῖς ἀκριβῶς ἐπισταμένοις αὐτὸν ἄπιστον, καὶ μετέστησεν ἐκ τῶν Αὐξεντίου βουνῶν καὶ τῆς ἐν αὐτοῖς τρυφῆς καὶ εὐπαθείας, ἣν δαψιλῆ τε καὶ πλουσίαν τούτῳ χαρίζεται ὁ τῆς σεμνοτάτης καὶ ὀλβιωτάτης ἐξηγούμενος Λαύρας, ἐπεὶ καὶ φιλοτίμως χορηγῶν αὐτῷ καὶ θεραπεύσεως τὴν ἁβράν τε καὶ κενόδοξον χρείαν οὐδέν ἐστιν ἕτερον, ἢ τῶν ὤτων ὥσπερ ἠρτημένος αὐτοῦ καὶ κινδυνεύων οὐ πράγματι μᾶλλον ἢ ὀνόματι μόνῳ τῇ τῆς ἀρχῆς ἐπωνυμίᾳ σεμνύνεσθαι· τἄλλα δ' ὥσπερ τούτῳ δουλεύων καὶ τὴν ἀπαίδευτον αὐτοῦ φιλοσοφίαν τιμῶν, εἴ τι χρὴ καὶ πρὸς φιλοσοφίαν οὕτω τολμᾶν, ἀλλὰ μὴ κενὴν ἀδολεσχίαν τὴν πολλὴν αὐτῷ τοῦ λόγου φλυαρίαν ὀνομάζειν· σκαιότητά τε τρόπου τὸ σοβαρὸν καὶ ἄχαρι τοῦ ἤθους καὶ ὅλον ὑποκριτικὸν καὶ ἀφύλακτον, ὅτι καὶ τελέως ὑπ' ἀβελτηρίας εἴτουν ἀλαζονείας εὐφώρατον καὶ μόνῳ τάχα τούτῳ τἀναντία συνέδραμε· λογισμὸς μὲν οὐδαμοῦ μέτριος, ὅτι μηδὲ ἔχει φύσιν ἀρετῇ συνεῖναι κακίαν· ἀλλὰ φύσις ταῦτα πόρρω τε καὶ ἀπ' ἀλλήλων διώρισται· καὶ ἀρετῆς μὲν ἐπιούσης ὑποχωρεῖ καὶ δραπετεύει κακία, ὥσπερ σκότος ὑπὸ τοῦ φωτὸς δραπετεύεται, ὄχλος δὲ παθῶν ἐν δυναστείᾳ ἐπὰν μὴ νοῦς καλῶς ἡγεμονεύῃ μηδὲ ρυθμίζῃ λόγος τῆς ψυχῆς τὴν κατάστασιν· τῷ δὲ καὶ σχῆμα ταπεινὸν πλάττεται, πλὴν ὄγκος διελέγχει τῆς ψυχῆς ἀνασοβῶν ἔνδοθεν καὶ μηδ' ἐπὶ πολὺ λανθάνειν συγχωρῶν τὸ προσωπεῖον, ἀλλὰ ταχὺ τὸ δράμα τε καὶ τὴν σκηνὴν ἀνακαλύπτων καὶ εὐχερῶς τὴν δυστροπίαν παραδειγματίζων τοῦ πλάσματος, ἐφ' οἷς καὶ νῦν πειρώμενος λανθάνειν ἔλαθεν ἁλούς, καὶ πρόδηλός τις ἀνεφάνη κακός, ὡς ἀρετῇ καὶ ἀληθείᾳ μαχόμενος· ἐννοεῖν μὲν οὖν τὸν Ἄθω καὶ τὴν ἐν αὐτῷ διατριβὴν καὶ ἡσυχίαν οὐχ ὅτι ἀρετῆς

αὐτῷ καὶ ἡσυχίας ἐμέλησεν, οὐδ' ἵνα τι τῷ τριβωνίῳ χαρίσηται, ὅτι μηδὲ τῇ διττῇ φιλοσοφίᾳ τῆς τε θεωρίας καὶ πράξεως, ἣν ὁ λόγος τῆς μεταβολῆς ἐπηγγείλατο, καὶ ἡ μετάθεσις τοῦ βίου ἐκ τοῦ κοσμικοῦ καὶ μιγάδος πρὸς τὸν πνευματικὸν καὶ μονάζοντα, ἀλλ' ὅτι μηδὲ τὴν ἀρχὴν ἐξ εὖ ἔχοντος σκοποῦ πρὸς τὸ τῆς ταπεινώσεως ἐλήλυθε σχῆμα, οὐδὲ τὴν μοναδικὴν ζωὴν εἵλετο ἀντὶ τῆς ἐν μέσῳ συναναστροφῆς καὶ ὁμιλίας καὶ τέρψεως· ἀλλὰ ταῦτα μὲν ὑπερεπόθει καὶ καταλαβεῖν ἔσπευδε, πλοῦτον καὶ τιμὰς ἐννοουμένας αὐτῷ καὶ φανταζομένην συζυγίαν, νῦν μὲν ἴσθι εὐγενῆ καὶ περίβλεπτον, νῦν δὲ τυχὸν ὀλβιωτάτην καὶ τοὺς πολλοὺς τοῖς θησαυροῖς ὑπερβαίνουσαν· ἐπεὶ δὲ τῶν λογισμῶν καὶ τῆς ἐλπίδος ταύτης ἐσφάλη, τὸ μὲν μεμφόμενος τῇ τύχῃ, ὅτι μὴ δωρεὰν ἀεὶ καὶ προῖκα ταῦτα τοῖς ἐφιεμένοις χαρίζεται, τὸ δ' ἔστιν ὅπου τῆς οἰκείας ἀσθενείας αἰσθόμενος καὶ συνιεὶς ὡς γέρα ταῦτα μᾶλλον παρὰ βασιλέως τοῖς ἀξίοις χαρίζεται, καὶ ἔστιν ὤνια καμάτων καὶ ἀγώνων πολλῶν, καὶ τοῦ δεξιῶς καὶ ἐπιβόλως ἔχειν ἐπὶ πᾶν τὸ παρ' αὐτοῖς πιστευόμενον ἐξαπορῶν καὶ ἀπονοούμενος ὑπὸ πολλῆς ἀμηχανίας, καὶ μὴ ἔχων ὅ,τι δράσειε λοιπὸν ἕτερον, ὑπὸ φθόνου τὴν ψυχὴν ἐκεντᾶτο καὶ μυρίοις κατετήκετο πάθεσι, τοῦτ' αὐτὸ βασκανίᾳ πρὸς τοὺς ὑπερέχοντας, ἔριδι καὶ ζήλῳ πρὸς τοὺς ἀντιτέχνους, ὑπεροψίᾳ πρὸς τοὺς ἰσοτίμους, ἵνα διὰ τούτου δόξῃ τι προέχειν ἐκείνων· πρὸς τοὺς ὑποδεεστέρους ὑπερηφανείας θρασύτητι, μίσει πρὸς τοὺς ἄλλους ὁμοῦ, δυσνοίᾳ πρὸς αὐτοὺς τοὺς κρατοῦντας, ὅτι μὴ τῶν ἄλλων ἐτιμᾶτο πλέον αὐτοῖς οὐδ' ἐπλήρουν τούτῳ τὰς ἐφέσεις, ἀλλὰ παρεώρων ἀγέραστον. Τί ἔτι; τελευταίαν ὁδὸν μέτεισι· γίνεται τοῦ καιροῦ τῆς βλασφημίας ἐν τούτῳ κλέψειν οἰηθεὶς καὶ ὑφαρπάσειν, ἃ πλεῖστα πονηθεὶς καὶ ἐκζητήσας οὐκ ἔσχε δυνηθεὶς πρότερον· ὡς δὲ καὶ ἐν τούτῳ ἔσφηλεν αὐτῷ Θεὸς τὴν προσδοκίαν, πρὸς τὸν φίλτατον αὐτῷ δογματιστὴν τῶν ἀλλοκότων καὶ τοῦ ἐνιαυτοῦ ἐκείνου ποιμενάρχην ἐπεῖδε, καὶ ἐπιρρίψας τούτῳ τὰς ἡνίας τῆς ἐλπίδος ἔδωκεν ἄγειν, ὅπου ἂν γε εἴη βουλομένῳ σκοπεῖν· πλὴν εἰς

ὄρη τε καὶ ἐρημίας καὶ βάραθρα, τῆς πολλῆς ἐκείνης ἀλογίας, ἢ τὴν Ἐκκλησίαν κατέτεμεν, οὔκουν οὐδὲ τοῦτό γε σκοποῦ τινος καὶ λογισμοῦ χωρὶς ὁ γεννάδας, ἀλλ' ἐπειδὴ πᾶσαν πεῖραν διεξελθὼν καὶ πάντα κάλων, ὅ φασι, κινήσας τῶν σπουδαζομένων ἀπέτυχεν, ὃ μὴ ἔσχηκε κερδήσας λέγω δόξης καὶ περιουσίας ἀπόλαυσιν ἐν τοῖς κοσμικοῖς πολιτευόμενος καὶ πλανώμενος, τοῦτο δ' ἑτέρας πλάνης δοκιμάζει λαβεῖν καὶ μεθαρμόζεται τὸν βίον οὐδὲν Θεῷ ταῖς ἀληθείαις οὐδὲ τῇ ἑαυτοῦ ψυχῇ χαριζόμενος, ἀλλὰ τὰς ὑψηλὰς ἐπινοῶν καθέδρας καὶ τοὺς ἱεροὺς περινοστῶν θρόνους τῷ νῷ καὶ τρεφόμενος ἐλπίσιν, ὅτι ὁ πολὺς αὐτῷ καὶ μέγας ἀρχιποίμην τάχιστ' ἂν ἀμείψηται αὐτόν· τὸ μέν τοι τῆς στοργῆς καὶ τῆς εὐνοίας, ἣν ὅ,τι πλείστην εἶχεν ἀπονέμων αὐτῷ, τὸ δέ τοι τῶν ἀδολεσχιῶν ἕνεκεν ἃς ἀτρόμῳ ἠδολέσχει διανοίᾳ καὶ ἀπυλώτῳ καὶ ἀνυποστόλῳ ἐξήρευγε τῷ στόματι, τὰ ἱερὰ καὶ θεῖα διαφθείρων καὶ παρεξηγούμενος λόγια· ἐπεὶ δ' ἐκεῖνον ἡ δικαία ψῆφος τοῦ Θεοῦ καθελοῦσα, εὖ ποιοῦσα καὶ ἀξίως ὅτι γε καὶ ψῆφος Θεοῦ, ὡς πορρωτάτω τῶν ἱερῶν καὶ θείων περιβόλων ἀπήλασεν, ἀνῆκται δὲ ἐπὶ τὸν θρόνον τῆς μεγάλης ἀρχιερατείας ὁ τῆς ἀληθείας καὶ τῆς εὐσεβείας διδάσκαλος, σὲ δὴ λέγω τὸν ποιμένα τὸν μέγαν, ὡς τοῦ ἀληθινοῦ ποιμένος ἀντίτυπον, τί χρὴ λέγειν; ἢ ὅτι φθόνος μὲν κατέσχε τὴν βέβηλον ψυχὴν καὶ μισόκαλον· εἶτα φόβος οὗτος μόνος ἀληθής τε καὶ εὔλογος· τὸ δέ ἐστιν, ὅτι καὶ τούτων δῆτα τῶν ἐλπίδων τῶν ἐσχάτων διέπεσε· διώκτην γὰρ ἀναφανέντα καὶ δογματιστὴν ἀπερίσκεπτον, μᾶλλον μὲν οὖν καὶ λίαν τινὰ θρασὺν καὶ αὐθάδη ὡς μηδέν τι τῶν ἀτοπωτάτων ὅσα προὔφην ὁ χρόνος ἐκεῖνος ὑποστειλάμενον τολμῆσαί τε καὶ εἰπεῖν· πῶς ἂν γένοιτο βαθμοῦ τινος ἀξιωθῆναι ἢ τῶν πρὶν προσδοκωμένων ἡμῶν τεύξασθαι; ἐντεῦθεν δυσνοεῖ μὲν ἀμυνόμενος βασιλεῖ τῷ φιλοχρίστῳ καὶ σὺν τῷ Θεῷ χαρισαμένῳ τῇ πνευματικῶς γεννησαμένῃ Ἐκκλησίᾳ τὸ κράτος καὶ ποιησαμένῳ πᾶσαν ἐκ τοῦ μέσου βλασφημίαν καὶ διὰ τῆς ὀρθῆς αὐτὴν ὁμολογίας δοξάσαντι· ἀμύνεται δὲ καὶ σὲ τὸν ταύτην δὴ παρὰ Χριστοῦ καλῶς

νυμφευσάμενον ἐν τῇ δόξῃ τοῦ πατρὸς διὰ τῆς ἐνεργείας τοῦ πνεύματος· εἶτα βλασφημεῖ καὶ διαβάλλει τοῦτο καὶ Χριστὸν τὸν σὸν Θεόν τε καὶ δεσπότην, τὰ τοῦ ἐναντίου πνεύματος ὄργανα· οἶδα ὅτι ταῦτά γε βουλόμενος καὶ σκῦλαι διανοηθεὶς τοὺς εὐτυχεῖν αὐτῷ μέλλοντας πρὸς αὐτό τε τὸ τοῦ Ἄθω ὄρος ἀπέδραμε καὶ τὰς ἐκεῖ διατριβὰς ἀνεζήτησεν· ἀλλὰ νικᾷ Χριστὸς ἁπανταχοῦ σὺν ἀληθείᾳ καὶ τὴν πλάνην πανταχόθεν ἀπήλασεν, ἀπελάσει δὲ καὶ νῦν τῆς ἀληθείας ἐν αὐτῷ πρεσβευομένης καὶ ὑπερνικήσει Χριστός· οἱ δὲ καὶ ἡττηθήσονται καὶ σιγήσουσιν, ἡ δ' ἐπάνοδος, ἡ δὲ θρασύτης, ἡ δὲ ἄκαιρος παρρησία, ἡ δ' ἐπὶ πρόσωπον ἀναισχυντία, ταῦτα πάντα οὔκουν σωφρονοῦντός τινος, ἀλλὰ μεμηνότος σαφῶς πλὴν οὔτ' αἰτήσεται συγγνώμην οὔτ' ἴσως αἰτησάμενος λήψεται, ὅτι οὐδὲ παρεκόπη τὰς φρένας ὑπὸ πάθους ἀβουλήτου τινός, ἀλλ' ἑαυτῷ φέρων λεγεῶνα ἐπεσώρευσε πνευμάτων ἐναντίων· εἶθ' ὥσπερ δι' αὐτῶν ἐθελοντὴς ἀνεβάκχευσεν οἷος οὗτος δρῶντι μοι πολλάκις εἰς αὐτὸν κατεμηνύθη· μετρίως μὲν διάστροφος τὸ βλέμμα, γαληνὸν δὲ οὐδέν τι φέρων ἐν τοῖς ὀφθαλμοῖς οὐδὲ ἥσυχον, τοὐναντίον μὲν οὖν ἅπαν ἐπὶ τοσόνδε ἀγριότητος μέτοχον, ὅσον ἂν καὶ ἔχειν τὸν βουλόμενον εἰκάζειν ἐπὶ δαιμονῶντας ἀνακινῶν τὴν μνήμην καὶ πρὸς ἐκείνους ἀναφέρειν τὴν μίμησιν, ἢ ἐπὶ μυθευομένους βάκχους καὶ σατύρους τινάς. Ὁ μὲν οὖν ζῆλος μέχρι τούτων ἐξήνεγκε καὶ οὐδὲ παρακατέχειν οἷον δύναμαι τὸν ζῆλον, νὴ τὴν ἱερὰν κεφαλήν, ἐξ οὗ καὶ πλείω λέγειν ἠβουλόμην, εἰ μὴ αἰδὼς καὶ δέος με ἐπεῖχε πρὸς τὴν σὴν ἁγιωσύνην τοὺς παρόντας λόγους ποιούμενον καὶ τὴν ἀμετρίαν ἐκφεύγοντα· πλὴν ταῦτα εὐαγγελίζομαι, καὶ εὐαγγελίζομαι βεβαίως θαρρῶν τῇ ἀληθείᾳ, Θεῷ τε τῷ εὐοδοῦντι καὶ σώζοντι, καὶ ταῖς εὐχαῖς τῆς σῆς ἁγιωσύνης, ἃς δεῖτε θερμοτέρας ποιουμένου εὐοδώσει μᾶλλον Θεός· εὐαγγελίζομαι δέ, ὡς ὅσον οὔπω μέτριαί τινες διαγενήσονται ἡμέραι καὶ ἀφίξεταί σοι πρὸς τὴν πόλιν ὁ θεοστεφὴς βασιλεύς· ἀναβολὴ γὰρ τὸ ἀπὸ τοῦδε οὐδεμία, καὶ ἀφίξεται τάχιστα· ἐληλυθότος δὲ τό τε ἄλλα ἕξει καλῶς καὶ

πᾶσα ἡ τῶν πονηρῶν καταργηθήσεται κακία, καὶ τὰ πολλὰ διαλυθήσεται σκάνδαλα.

ρπζ') Τῇ Ραουλαίνῃ[1]

Ἀφελῆ σοι τινὰ φῄς εἶναι γράμματα καὶ ἐκδήλως πρεσβυτερικά, ἃ πρὸς ἡμῶν σοι πέμπεται γράμματα· εἶτ' οὐχ ἱστᾷς ἄχρι τοῦδε τὸ πρᾶγμα, ἀλλὰ καὶ ψῆφον αὐτοῖς ἐπάγεις τοῖς οὐδὲν γενναῖον ἔχουσι πρέπουσαν. Οὐ πλήττομαι πρὸς τὸν λόγον εἴτουν ψόγον, οὐδ' εἰς τὴν ὑπὲρ τῶν ἐμαυτοῦ συνηγορίαν χωρῶ, ἐχόντων ὡς ἡ παρὰ σοῦ ψῆφος βούλεται· οὔπω διὰ τοῦτο καὶ τὸ πάντῃ μεμπτοῖς εἶναι προσέσται, ἀρετῆς ἔτι περιλει[πο]μένης αὐτοῖς, τῆς καὶ πάντων γραμμάτων κατ' ἐμὲ ἀρετῆς· εἴη δ' ἂν αὕτη ἀμείωτον διαβιβάζειν πρὸς ὃν γράφεται τὸ τοῦ γράφοντος νόημα· ἢ ἔχεις σὺ μεθ' ἧς ἐπικέκληκας ταπεινότητος καὶ ἀσάφειαν ἐπικαλεῖν οἷς ἐπικέκληκας, καὶ τὸ νοεῖσθαι μὴ δύνασθαι; οἷς δὲ ταῦτα μὴ ἐπικλητέον ἐστὶν οὐ φαίης ἐκείνοις ἀρετὴν ἐνεῖναί τινα, ἀλλὰ λόγῳ παντὶ καὶ τρόπῳ τοῦ εὖ ἀμοιρεῖν δικαιώσεις; πλὴν δοκεῖς οὐ γέ μοι μὴ μόνον αὐτὰ τῆς αἰτίας ταύτης ἀπαλλαγέντα, καί τινα τόνον ἀμείνω λαβόντα μηδέποτε ἐπαινέσαι, ἀλλὰ κἂν ὑπὲρ τἆλλα γένοιτο ὅσα ποτὲ γέγονε καλά, καὶ οὕτω ἔτι μὴν ζητεῖν τὴν ὑπερβολήν· αἴτιον δὲ—μαρτυρήσω γὰρ τἀληθῆ—οὐχ ὅτι φιλαίτιός τις εἶ, καί σοι τῶν καλῶν δοκεῖ καλῶς ἔχει οὐδέν· τίς γὰρ οὕτω πόρρω τῆς ἀληθείας καὶ τοῦ καλοῦ, ὥστε περὶ σοῦ τι τοιοῦτον μέχρι καὶ τοῦ ἐννοῆσαι τολμῆσαι; ἀλλ' ὅτι μήτ' αὐτὰ καθ' αὐτὰ δοκιμάζεις τὰ γράμματα, μήτε μὴν πρὸς τὰ τῶν ἄλλων κρίνεις· ἐπεὶ ἐφαίνετ' ἂν καὶ μετρίως γ' ἔχειν κρειττόνως ἢ ὡς νῦν καταφαίνεται· πρὸς δὲ τὸ βούλημα τῆς ψυχῆς ἐξετάζεις τῆς σῆς· τὸ δέ ἐστιν ὑπερβάλλειν ἀεὶ παντὸς τοῦ φαινομένου τὸ ἐν τοῖς ἡμετέροις καλὸν ὡς ἄπειρον ἀτεχνῶς εἶναι, καὶ οἷον αὐτοῦ μέτρου

[1]) Τῇ Ῥαουλένῃ ὁ κώδ.

μὴ εἶναι. Ὅθεν καὶ ἡλίκην ἂν τὰ ἔργα ἡμῶν ἔχοντα φανεῖται τὴν ἀρετήν, ἐπειδήπερ οὐκ ἔνι τῷ ἀπείρῳ παρισωθῆναι, οὐκ ἀποχρῆναι οὐδ' ἀρέσκειν λεγούσης σου ἀκουσόμεθα· τὸ δ' ἐνδεὲς ἐγκαλούσης καὶ τὸ μεῖζον καὶ κρεῖττον ἀπαιτούσης ἀεὶ οὐκ ἔνι τοίνυν ἐλπίσαι ἀκοῦσαι οὐκ εὐφημίαν ἐπὶ τούτοις παρὰ σοῦ οὐκ ἔπαινον, οὐκ ἐγκώμιον· ἀγαπητὸν δὲ εἰ καὶ μὴ τοὐναντίον· εἴπερ ἄνθρωποι ἐκεῖνα τούτων ἀξιοῦσιν, ὅσα καὶ κατὰ βούλησιν αὐτοῖς ἐκβαίνει ἢ καὶ κρείττω βουλήσεως· ἃ δ' ἀποπίπτει ὁμοῦ παρ' αὐτοῖς καὶ τῶν ἐγκωμίων ἐκπίπτει· οὐ μέντοι διὰ τοῦτο ἀνιασόμεθα, οὐδ' αὖ δεῆσαν γράφειν ἀμβλύτερον γράψομεν· μᾶλλον μὲν οὖν καὶ εὔξομαι καὶ δὴ εὔχομαι, σὲ μηδέποτ' ἀποκαμεῖν ζητοῦσαν τὴν ἐν τῷ καλῷ τῶν ἡμετέρων ἐπίδοσιν. Ἐπεὶ καὶ τῆς ἀμείνονος περὶ ἡμᾶς κηδεμονίας οὐχ ἕτερον ὡς τόδε τεκμήριον εἶεν. Τὸ δὲ βιβλίον, τὸν Δημοσθένην, ἐπισκήπτειν τῷ γραφεῖ ἐπιτάττεις, ἄστικτον τηρεῖν διόλου καὶ ἀκηλίδωτον· ἔσται γε οὕτω καὶ ἐπισκήψομεν· ἀλλ' ἐπειδὰν ὁ τοῦ μεταγράφειν ἐνσταίη καιρός, νυνὶ δὲ οὐκ ἐνέστηκεν, ὅτι μηδὲ ἔαρ ἔτι, οὐδὲ κρεωφαγοῦσιν ἄνθρωποι οὐδὲ δέρρεις προβάτων εἰς γραμμάτων ὑποδοχήν· ἐσεῖται δὲ ὅμως ταῦτα μετὰ μικρὸν καὶ τότε καὶ γράφειν ἐπιβαλοῦμεν ἄφθονα τὰ τῶν γραμμάτων ἔχοντες ὑποκείμενα, τότε καὶ τῷ γραφεῖ Μελιτᾷ οἷον ἐπιτάττεις τὸ βιβλίον συντηρεῖν ἐπιτάξομεν· εἰ καὶ ἄλλως πρὸς αὐτὸν ὁ λόγος μάτην γεγονὼς ἔσται καὶ περιττῶς· ὁ γὰρ ἄνθρωπος οὕτω καὶ παραγγελμάτων χωρὶς τῶν δε τῶν παραγγελμάτων ἐστίν, ὥστε καὶ ἅπερ ταῖς χερσὶν ἑαυτοῦ γράφει καὶ στρέφει καὶ ἐπαφᾶται, πάντῃ ῥύπου διαφυλάττει ἁγνεύοντα· εἰ δὲ τοιαῦθ' ὁρᾶν ταῦτα παρέχεται, τί περὶ τῶν πρωτοτύπων λογίζεσθαι χρή, ὧν ὀφθαλμοῖς καὶ μόνοις ἀντιλαμβάνεται πόρρωθεν; εἴποις, οἷς γράφει ἐμβλέψασα, ὡς φαιδροτέρα τῶν χειρῶν ἀποτίθεται, καίπερ γράμματα καὶ μέλαν ἐπιβαλών, ἢ τὴν ἀρχὴν ταῖς χερσὶν ἀνῃρεῖτο. Ἴσως ἐθέλεις ἀκοῦσαι καὶ περὶ τῆς χθὲς πεμφθείσης τροφῆς, τί[ς καὶ] ποία ἔδοξε γευσαμένοις· ἡδεῖά τις ἔδοξε, νόστιμος, καὶ σφόδρα φαγεῖν ἀγαθή· ἄλλοις μέντοι γε

τοιαύτη οὐκ ἔμοιγε· πῶς καὶ τίνα τρόπον οὐκ ἔμοιγε; ὅτι σπούδασμα ἐμόν, καὶ μάλα ἴδιος ἀγών, δίψους ἀπαλλαγῆναι ζητεῖν, οὐκ ἐπισπάσασθαι δίψος· ἡ δὲ ποιητικὴ μάλιστα τοῦ φευκτοῦ τούτου, οὐκ ἀποτρεπτικὴ κατεφαίνετο. Οὐκοῦν καὶ ἵνα μὴ ἐμαυτῷ παρασυρεὶς τῇ γλυκύτητι λάθω βλάβην προσενεγκὼν κατὰ τὸ καὶ πάντα τἄλλα δεύτερα τοῦ ἐν γεύσει καλοῦ τιθεμένους παῖδας, γευσάμενος μόνον ἄλλοις ἀφῆκα φαγεῖν, οἷς οὐδὲν ἔμελε δίψους, οὐδὲ τῆς ἀπὸ δίψους βλάβης, καὶ τὰ πολλῷ τούτων ἐμφαγοῦσι διψητικώτερα*.

---

* Ἕπεται τὸ τέλος